πίστεως συνετάχθη ὑπὸ τῶν διαμαρτυρομένων" λέγει ὁ κ. Σάθας. Περὶ τῆς ἀσυστάτου ταύτης γνώμης ἐγράψαμεν ἐν τῷ βίῳ τοῦ Λουκάρεως, ἐκδοθέντι ἐν τῷ Ἐθνικῷ Ἡμερολογίῳ τοῦ ἔτους 1870. Νῦν δὲ ἐκδίδομεν τὸ ἑξῆς ἀνέκδοτον συνοδικὸν γράμμα περὶ τῆς ἐκλογῆς τοῦ Λουκάρεως.

† Ἐπειδὴ μετὰ τὴν τελευτὴν τοῦ μακαρίτου ἡμῶν Πατριάρχου Κυροῦ Τιμοθέου . . . . . ἔτι τότε πατριαρχεύοντος τινὲς ἐξ ἡμῶν τῶν ἀρχιερέων εἰς τὸ μὴ ἁρπαγῆναι τὸν πατριαρχικὸν θρόνον ὑπό τινος δίχως γνώμης συνοδικῆς, καθάπερ ἐθρυλλήθη, ἔκριναν μετὰ καὶ γνώμης τῶν τιμιωτάτων Κληρικῶν καὶ χρησίμων ἀρχόντων, [καὶ] ἐμήνυσαν διὰ γραμμάτων καὶ τοὺς λοιποὺς τῶν ἀρχιερέων, πρὸς τούτοις δὲ καὶ τὸν μακαριώτατον καὶ σοφώτατον Πατριάρχην Ἀλεξανδρείας Κύριον Κύριλλον, εἰς τὸ παραγενέσθαι ἐνταῦθα καὶ σκέψασθαι περὶ τούτου, καὶ ἤλθομεν σὺν Θεῷ καὶ ἀνεπληρώσαμεν τὴν ὑπέρ[τιμον] Σύνοδον. Τούτου χάριν καὶ συναχθέντες ἐν τῷ πατριαρχικῷ καὶ θείῳ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου ἐποιήσαμεν ψήφους κανονικὰς δι' αὐτὸν τὸν ἁγιώτατον καὶ ὑψηλότατον θρόνον τῆς Κωνσταντινουπόλεως, ἐν αἷς καὶ ἐθέμεθα πρῶτον μὲν τὸν προρρηθέντα μακαριώτατον Πατριάρχην Ἀλεξανδρείας Κύριον Κύριλλον· δεύτερον τὸν πανιερώτατον μητροπολίτην Λαοδικείας Κύριον Νικηφόρον· καὶ τρίτον τὸν θεοφιλέστατον καὶ μουσικώτατον ἐπίσκοπον Ῥαιδεστῶν καὶ Πανίδου Κύριον Μελχισεδέκ. Πλὴν πρὸ τῶν λοιπῶν ἐξελεξάμεθα ἄξιον καὶ ἐπιτήδειον εἰς τὴν τοιαύτην ἐπιστασίαν τὸν ἐπ' ἀρετῇ καὶ σοφίᾳ διαβόητον . . . . μακαριώτατον Κύριον Κύριλλον. Ὅθεν καὶ εἰς δήλωσιν κατεστρώθησαν ἐν τῷ ἱερῷ τούτῳ κώδηκι τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας καὶ ὑπογράφομεν οἰκειοχείρως. Ἐν ἔτει ͵ζρκθ΄ Νοεμβρίου δ΄ Ἰνδικτιῶνος Δ΄.

† Ὁ Ἡρακλείας Τιμόθεος. † Ὁ Κυζίκου Παρθένιος. † Ὁ Νικομηδείας Διονύσιος. † Ὁ Χαλκηδόνος Ἰωαννίκιος. † Ὁ